ἀλλά, θεοὶ γενέται, κλύετ᾽ εὖ τὸ δίκαιον ἰδόντες· [ἀντ. γ.
ἥβᾳ μὴ τέλεον
δόντες ἔχειν παρ᾽ αἶσαν,
ὕβριν δ᾽ ἐτύμως στυγοῦντες,
πέλοιτ᾽ ἂν ἔνδικοι γάμοις.
ἔστι δὲ κἀκ πολέμου τειρομένοις
βωμὸς ἀρῆς φυγάσιν
ῥῦμα, δαιμόνων σέβας.

εἴθ᾽ εἴη Διὸς εὖ παναληθῶς [στρ. δ.
Διὸς ἵμερος· οὐκ εὐθήρατος ἐτύχθη;
παντᾷ τοι φλεγέθει
κἀν σκότῳ μελαίνᾳ ξὺν τύχᾳ
μερόπεσσι λαοῖς.

πίπτει δ᾽ ἀσφαλὲς οὐδ᾽ ἐπὶ νώτῳ [ἀντ. δ.
κορυφᾷ Διὸς εἰ κρανθῇ πρᾶγμα τέλειον.
δαυλοὶ γὰρ πραπίδων
δάσκιοί τε τείνουσιν πόροι
κατιδεῖν ἄφραστοι.

ἰάπτει δ᾽ ἐλπίδων [στρ. ε.
ἀφ᾽ ὑψιπύργων πανώλεις
βροτούς, βίαν δ᾽ οὔτιν᾽ ἐξοπλίζει,
πᾶν ἄπονον δαιμονίων·
ἥμενος ὃν φρόνημά πως
αὐτόθεν ἐξέπραξεν ἔμ-
πας ἑδράνων ἀφ᾽ ἁγνῶν.

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id417051662/14 UNIVERSITÄT LEIPZIG